# TEZAUR LITURGIC

## 30 NOIEMBRIE
## +NIKODIMOS VALLINDRA, MITROPOLITUL PATREI

# SLUJBA SOBORULUI SF.AHAIEI

**PATRAS,2000**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 30 ΝΟΕΜΒΡΙΟΥ
## Ἐν Πόλει καὶ Μητροπόλει τῶν Πατρῶν, ἑορτάζεται ἡ μνήμη τῶν συνεργῶν τοῦ Ἁγίου Ἀνδρέου τοῦ Πρωτοκλήτου, Σωσιπάτρου, Παύλου τοῦ Πατρέως, νεομάρτυρος Ζαχαρίου τοῦ ἐξ Ἄρτης, Ἀναστασίας καὶ Χριστοδούλου τῶν Παιδομαρτύρων, τῶν ἐν τῇ Ἀχαΐᾳ Ὁσίων Λεοντίου τοῦ Γέροντος καὶ Ἰωακεὶμ τῶν Νοτενῶν, ὡς καὶ τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου, κομιστοῦ φερομένου τῶν σεπτῶν Λειψάνων τοῦ Ἁγίου Ἀποστόλου Ἀνδρέου

**Ποίημα Μητροπολίτου πρωὴν Πατρῶν**
**Νικοδήμου Βαλληνδρᾶ**
**Ἔκδοσις Ἁγίου Ἀνδρέου,Πατρῶν,2000**

## ΕΣΠΕΡΙΝΟΣ

*Εἰς τὸ Κύριε ἐκέκραξα· Στιχηρὰ Ἀναστάσιμα 4, Προεόρτια τῶν Χριστουγέννων ἤ τὰ μεθεόρτια των Εἰσοδίων (ἀναλόγως τὴν ἡμέρα) 3, καὶ 3 τῶν Ἁγίων.*

*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων*

Τοῦ Παραδείσου τὰ ἄνθη τὰ εὐωδέστατα, Χριστοῦ τὴν εὐωδίαν πλημμυροῦντα τοῖς πᾶσιν, αἰνέσωμεν Ἀνδρέαν καὶ τοὺς αὐτοῦ μιμητάς τε καὶ θρέμματα, Εὐαγγελίου ἐργάτας, καὶ τῶν Πατρῶν γεωργίου τὰ ὀσφράδια.

Χαίρετε ἅγιοι Μάρτυρες καὶ Ἀπόστολοι, τῆς Ἀχαΐας τέκνα, τῷ Χριστῷ συναφθέντα, ἀνδρῶν τε καὶ παιδίων

καὶ γυναικῶν ὁ χριστώνυμος σύλλογος, Ὁσίων ὅμιλος, Πάτραις καὶ τοῖς ἐγγὺς ἐν ἀσκήσει διαλάμψαντες.

Παῦλε, Λεόντιε ἅμα Ἰωακείμ, οἱ σεπτοί, καὶ Ζαχαρία μάρτυς, καὶ Σωσίπατρε κῆρυξ, σεμνὴ Ἀναστασία, Χριστοῦ ἀμνάς, νεανία Χριστόδουλε, εἰς μαρτυρίαν ἐλθόντες τοῦ Ἰησοῦ, τῶν Πατρῶν μὴ ἐπιλάθεσθε.

*Δοξαστικόν. Ἦχος β΄.*

Εὐφραίνεται ἐφ᾽ ὑμῖν, Ἅγιοι, ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἀνακράζουσα· χαίρετε φωστῆρες αὐγάζοντες τῆς Ἀχαΐας τὴν γῆν, καὶ ταύτην οὐρανώσαντες. Χαίροις Ἀνδρέα Ἀπόστολε, πρῶτος τὴν κλῆσιν καὶ φῶς Χριστοῦ εἰσδεξάμενος, καὶ πλειάδα φωτίσας ἀστέρων ἀρτιφανῶν. Χαίροις ὁ θεῖος χορὸς Ἀποστόλων καὶ Μαρτύρων, Ἱεραρχῶν καὶ Ὁσίων, τῶν Πατρῶν ἐγκαλλωπίσματα. Ὡς ἔχοντες παῤῥησίαν, ὑπὲρ ἡμῶν Χριστῷ πρεσβεύσατε.

*Καὶ νῦν. Τὸ α΄ Θεοτοκίον τοῦ ἤχου τῆς Ἑβδομάδος.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον.*

*Ἀναγνώσματα, (εἰ δόξει τῷ Προεστῶτι)·*
*Παροιμιῶν τὸ Ἀνάγνωσμα*

Μνήμη δικαίου μέτ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου

θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χεῖλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς·

υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί, σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδὲν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλὸς ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς

καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δὸς μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ μὲ ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*

Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί· ἀθανασία γὰρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις, καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε· Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ' ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγὸς ἐστι, καὶ τῶν σοφῶν διορθωτής· καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις, καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία· ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον, ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλος Θεοῦ καὶ

Προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δὲ ἐστιν ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν, φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντὸς ἐστιν ἡ εὐσέβεια, καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ' οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς. Καταδυναστεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίους· ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρὺς ἐστιν ἡμῖν καὶ βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων, ἴδωμεν οὖν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ αὐτοῦ

ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδὲ ἔκριναν, ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων καὶ θανάτου ἐξουσίαν, καὶ σῴζων ἐν καιρῷ θλίψεως καὶ ῥυόμενος ἐκ παντὸς κακοῦ, ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ διδοὺς τοῖς Ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

*Εἰς τὴν Λιτὴν (ἐν Ἀρτοκλασίᾳ).Ἰδιόμελον Ἦχοςα΄*

Εὐφραίνεται ἐν Κυρίῳ πόλις τῶν Πατρέων, καὶ ἀγείρεται προεορτάζουσα τοῦ Πολιούχου συνόμιλον ἄθροισμα, Ἀνδρέου ἐπὶ μνήμῃ ἐγγιζούσῃ. Οἳ μὲν αὐτῷ συνείργησαν, οἱ δὲ καὶ ἐμιμήσαντο, ὁμόζηλοι φανέντες, καὶ τῆς Ἀποστολικῆς τῶν Πατρῶν Ἐκκλησίας κοινωνοὶ γενόμενοι, ταύτην ἐσαεὶ περιέπουσι· καὶ πρεσβεύουσι σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἀπόστιχα. Τὰ Ἀναστάσιμα.*

*Δόξα. Ἦχος πλ. β΄.*

Ἐπέστη ὁ καιρὸς τῆς εὐδοκίας τοῦ Πατρός, καὶ ὁ Μονογενὴς Υἱὸς ἐν Βηθλεὲμ ἐκ Παρθένου τίκτεται, τῷ γένει τῶν ἀνθρώπων διδοὺς τὴν σωτηρίαν. Τῷ Πρωτοκλήτῳ δὲ Ἀνδρέᾳ φανερωθεὶς Μεσσίας ἡμῶν καὶ λυτρωτής, εὐηγγελίσατο, δι' αὐτοῦ ἡμῶν τοὺς προπάτορας ἐν γῇ τῆς Ἀχαΐας. Συνεργοὺς δέ, τοῖς ἴχνεσιν αὐτοῦ ἀκολουθήσαντας ἑορτάζοντες,

δοξάζομεν Χριστὸν τὸν Κύριον, εὐχέτας σεπτοὺς ἡμῖν χαρισάμενον.

*Καὶ νῦν. Τὸ ὁμόηχον ἐκ τῆς Παρακλητικῆς.*

Ὁ Ποιητὴς καὶ Λυτρωτής μου, Πάναγνε...

*Νῦν ἀπολύεις τὸν δοῦλόν σου. Τὸ Τρισάγιον κ.λπ.*

*Ἀπολυτίκιον. Τὸ Ἀναστάσιμον τοῦ ἤχου.*

*Δόξα. Τῶν Ἁγίων. Ἦχος δ΄. Κανόνα πίστεως.*

Πατρῶν τοὺς πάτρωνας εὐφροσύνως γεραίρομεν, σὺν Ἀνδρέᾳ Σωσίπατρον, Πατρέα Παῦλον, Ἀρτέμιον, Ἀναστασίαν, Χριστόδουλον· Ζαχαρίαν τὸν νέον καὶ τοὺς ἀδήλους καὶ ἀφανεῖς τοῦ Κυρίου θεράποντας, τοὺς τὴν Ἀχαΐαν καλλύναντας ῥείθροις τῶν αἱμάτων αὐτῶν, καὶ βίου ἁγιότητι.

Καὶ νῦν. Θεοτοκίον. *Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον...*

*Καὶ ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Καθίσματα, τὰ Ἀναστάσιμα, μετὰ τὴν α΄ Στιχολογίαν.*

*Καθίσματα, μετὰ τὴν β΄ Στιχολογίαν. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Πατρῶν τοὺς ἐκλεκτούς, χριστοκήρυκας πάντας, ὑμνήσωμεν φαιδρῶς, πρὸς αὐτοὺς ἐκβοῶντες· Ἀνδρέαν Ἀπόστολον, μιμησάμενοι Ἅγιοι, ἐποτίσατε Εὐαγγελίου τοῖς ῥείθροις, τὸ Γεώργιον τὸ κληρωθὲν αὐτῷ πρῶτον, Χριστοῦ εὐδοκήσαντος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον ὁμόηχον.*

Μαρία, τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους σου.

Μετὰ δὲ τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ ἤχου.

Ὁμοίως καὶ οἱ Ἀναβαθμοί, (ἐκ τῆς Παρακλητικῆς).

Καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, τῆς τρεχούσης Κυριακῆς.

*Οἷ Κανόνες.Ὁ ἀναστάσιμος (Ἰωάννου τοῦ Δαμασκηνοῦ)*

Καὶ τῶν Ἁγίων, Ὁ ΚΑΝΩΝ Ἀκροστιχίς: *Τοῖς ἁγίοις Πατρῶν ὁ Ψαλμός. ΝΙΚΟΔΗΜΟΥ*

*Ἦχος πλ. δ΄. ᾨδὴ α΄. Ὑγρὰν διοδεύσας*

Τριάδος ἁγίας τοὺς λατρευτάς, καὶ τῆς Ἐκκλησίας τοὺς ἀστέρας τοὺς φωταυγεῖς, τοὺς τῆς Ἀχαΐας θεηγόρους, προσαγορεύομεν ὕμνοις καὶ παρακλήσεσι.

Ὁ πάντιμος σύλλογος, τῶν σεπτῶν κηρύκων ὑτοῦ Λόγου καὶ τῆς Χάριτος τοῦ Θεοῦ ἤρδευσε τοῖς ῥείθροις τῶν αἱμάτων Πατρῶν τὴν χώραν καὶ ἠρωτρίασεν.

Ἱκέτιδας χεῖρας εἰς οὐρανόν, ὑψοῦμεν ἐν πίστει προσδεόμενοι τῷ Θεῷ, ὅπως τοῦ Ἀνδρέου ταῖς πρεσβείας, τοῦ Πρωτοκλήτου, ῥυσθῶμεν ἐκ θλίψεων.

*Θεοτοκίον.*

Σωσίπατρε, Παῦλε, οἱ ἐκλεκτοί, μετὰ τοῦ Ἀνδρέου καὶ τῶν ἔξωθεν συνεργῶν, ἄχραντε Παρθένε Θεοτόκε, ὁμοῦ πρεσβείαν Χριστῷ προσάξατε.

*ᾨδὴ Γ΄. Οὐρανίας ἁψῖδος*

Ἀρετῶν τὴν πλειάδα, ἐν ἑαυτοῖς ἅγιοι, χάριτι Χριστοῦ κεκτημένοι, κατηξιώθητε, τῆς βασιλείας Αὐτοῦ, λαμπροὶ πολῖται γενέσθαι· Πρωτοκλήτου θρέμματα, νοσούντων μνήσθητε.

Γενναιόφρονες ὄντως, καὶ τῷ Ἀνδρέᾳ ὁμόψυχοι, οἱ ἐν Ἀχάϊᾳ γενόμενοι χριστοκήρυκες, σεπτὲ Σωσίπατρε, ἡγιασμένε Στρατόκλεις, τῶν ἐχθρῶν τῆς πίστεως λύμην ἀπώσασθε.

Ἱερὰν ξυνωρίδα, Ἀναστασίαν, Χριστόδουλον ἄμφω παιδιόθεν τραφέντας, Χριστοῦ τοῖς ῥήμασι, προσαγορεύομεν παιδομαρτύρων τῇ κλήσει, καὶ αὐτῶν αἰτούμεθα τὴν βοήθειαν.

*Θεοτοκίον.*

Οὐρανῷ ἐνοικοῦντες τῶν γηγενῶν μνήσθητε, οἱ τῷ Πρωτοκλήτου συνόντες ἅγιοι μάρτυρες, Χριστῷ προσάξατε, ὑπὲρ ἡμῶν ἱκεσίαν, τὴν Θεοτόκον σχόντες συναντιλήπτορα.

*Κάθισμα. Ἦχος β΄*

Πρεσβείαις ταῖς σαῖς ἐν πίστει ἀνατίθεμεν ἐλπίδας ἡμῶν, Ἀνδρέα, οἱ χριστώνυμοι, ἐκτενῶς βοῶντές σοι·

τῶν δεινῶν κινδύνων ἐκλύτρωσαι, καὶ γὰρ εὐήκοός σοι ἔσται ὁ Χριστός, ὁ μόνος ὑπάρχων πολυέλεος.

*ᾨδὴ Δ΄. Εἰσακήκοα, Κύριε*

Ἱερεῖα ὑπάρχοντες τοῦ Χριστοῦ Ἀρτέμιος Ζαχαρίας τε, μαρτυρίῳ ἐτελεύτησαν καὶ ὑπὲρ ἡμῶν νῦν πρεσβεύουσιν.

Στρατοκλῆς ὁ θεσπέσιος, πρῶτος ἱεράρχης Πατρῶν ἐγένετο, τοῦ Ἀνδρέου ταῖς χερσὶ λαβὼν τὸ τοῦ ἐπισκόπου ἀξίωμα.

Προεστῶτα σὲ ἔχρισε Πατρῶν Ἐκκλησίας, θείῳ βουλήματι, ὁ Πρωτόκλητος, πανεύφημε, σὺ δὲ ὦ Στρατόκλεις ἡμῶν μνημόνευε.

*Θεοτοκίον.*

Ἀχαΐας ἀπόστολον Παῦλον τὸν Πατρέα ἀνευφημήσωμεν, πρεσβευτὴν ἡμῶν γινώσκοντες, καὶ τῆς Θεοτόκου μύστην ἔνθεον.

*ᾨδὴ Ε΄. Φώτισον ἡμᾶς τοῖς προστάγμασί σου.*

Τέλη ἐν Χριστῷ καὶ τοῦ αἵματος τὴν ἔκχυσιν, ἔγνωσαν Ἀνδρέου οἱ συνεργοί, ὧν ταῖς πρεσβείαις δεινῶν λυτρωθείημεν.

Ῥῶσιν τῶν ψυχῶν καὶ σωμάτων ἐξαιτούμεθα, τῷ σῷ ναῷ προστρέχοντες οἱ πιστοί, καὶ παρακλήσεις ἡμῶν ἀναπέμποντες.

Ὢ τῆς ὑπὲρ νοῦν, παῤῥησίας σου Πρωτόκλητε, μεθ’ ἧς σοῦ ἐπακούων ὁ Λυτρωτής, δώῃ τῶν αἰτημάτων ἡμῶν τὴν πλήρωσιν.

*Θεοτοκίον.*

Νεῦσον πρὸς ἡμᾶς, καὶ δεήσεις δέξαι Δέσποινα, Πατρῶν Ἁγίους ἔχουσα παρά σοι, συνυπηχοῦντας τοὺς πόθους τῶν καρδιῶν ἡμῶν.

*ᾨδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.*

Ἔνθεος τῶν Ἁγίων ὅμιλος, τῶν ἐν Πάτραις εὐλαβῶς τιμωμένων σὺν τῷ Ἀνδρέᾳ Σωσίπατρος Παῦλος, Ἰωακείμ, Ζαχαρίας Ἀρτέμιος· πρεσβεύσατε ὑπὲρ ἡμῶν τῷ Χριστῷ τῷ Θεῷ παναοίδιμοι.

Ψαλμοῖς, ᾠδαῖς, καὶ ἐν ὕμνοις, Ἅγιοι, παρακλήσεις πρὸς ὑμᾶς ἐκβοῶμεν καὶ συνεργοὺς Πρωτοκλήτου εἰδότες ἐκδυσωποῦμεν, ἡμῶν μνημονεύετε, ὅπως ῥυσθῶμεν ἐκ φθορᾶς καὶ κινδύνων καὶ πάσης κολάσεως.

Ἀσπάσασθαι, τὴν εἰκόνα ἥκομεν, ὦ Ἀπόστολε Κυρίου Ἀνδρέα, καὶ Πολιοῦχον Πατρῶν σὲ εἰδότες, ὑπὸ τὴν σκέπην σου πάντες προστρέχομεν καὶ ὥσπερ πάτρωνι ἡμῶν, ἐπὶ σοι τὰς ἐλπίδας ἐθέμεθα.

*Θεοτοκίον.*

Λαὸς Πατρῶν, Ἀχαΐας πλήρωμα, τῶν Ἑλλήνων ὁ ἐσμὸς σὲ γινώσκει, νυμφαγωγόν, τῷ Χριστῷ ἀγαγόντα, Ἀνδρέα μάκαρ, ἡμῶν τοὺς προπάτορας. Τῆς Θεοτόκου δὲ εὐχαῖς καὶ ἡμεῖς τῷ Χριστῷ προσαχθείημεν.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Τῶν Πατρῶν αἰνέσωμεν πάντας Ἁγίους, Ἀχαΐας θρέμματα καὶ ἐν Χριστῷ παιδαγωγούς, αὐτῶν ἑπόμενοι ἴχνεσιν, ὧν ταῖς πρεσβείαις εὑρήσοιμεν ἔλεος.

*Εἶςδὲ τὸ μηνολόγιον δέον νὰ παρεμβληθῇ τὸ ἑξῆς:*

Τῇ αὐτῇ ἡμέρᾳ ἐν Πόλει καὶ Μητροπόλει τῶν Πατρῶν, ἑορτάζεται ἡ μνήμη τῶν συνεργῶν τοῦ Ἁγίου Ἀνδρέου τοῦ Πρωτοκλήτου, Σωσιπάτρου, Παύλου τοῦ Πατρέως, νεομάρτυρος Ζαχαρίου τοῦ ἐξ Ἄρτης, Ἀναστασίας καὶ Χριστοδούλου τῶν Παιδομαρτύρων, τῶν ἐν τῇ Ἀχαΐᾳ ὁσίων Λεοντίου τοῦ Γέροντος καὶ Ἰωακεὶμ τῶν Νοτενῶν, ὡς καὶ τὸν Ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου, κομιστοῦ φερομένου τῶν σεπτῶν Λειψάνων τοῦ Ἁγίου Ἀποστόλου Ἀνδρέου.

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας*

Μὴ ἐλλίπῃς πρεσβεύειν, τῷ Σωτῆρι Χριστῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν, πλειὰς ἡγιασμένων, κηρύκων τῶν ἐν Πάτραις, ὧν τῇ μνήμῃ νῦν ψάλλομεν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὁμοφώνως ὑμνοῦντες, Ἀχαΐας ὅμιλον ἁγιώνυμον, πληθούσῃ δ' ἐκκλησίᾳ, αὐτῶν ἐν πανηγύρει ἐκ ψυχῆς ἀναμέλπομεν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Στρατιὰν ἐπιλέκτων, τοῦ Χριστοῦ ἀθλοφόρων ἀνευφημήσωμεν, τὰς πόλεις καὶ τὰς χώρας, τὰς ἐν Πελοποννήσου, εὐηγγελίζοντο ᾄδοντες· ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Νοερῶς θεωροῦμεν, τοὺς ἡμᾶς τῳ Χριστῷ ὁδηγήσαντας, Πρωτόκλητον Ἀνδρέαν, μετὰ τῆς συνοδείας, καὶ δοξάζοντες ψάλλομεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα τῶν οὐρανῶν*

Ἱερατεῦσαι, τὸν Στρατοκλέα προσάγει, ὁ Ἀνδρέας τῇ Χριστοῦ Ἐκκλησίᾳ, μεθ’ ὧν ὑπερυψοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Κλήσεως θείας, ἀξιωθέντες ἐν πίστει, οἱ Ἀνδρέου συνεργοὶ γεγονότες, Χριστὸν ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ στερεώσας, τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, Σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Δέσποινα δέξαι, τὰς παρακλήσεις σῶν δούλων, τὸν Υἱόν σου καὶ Θεὸν λατρευόντων, Ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἡ πάναγνος Παρθένος, καὶ Μήτηρ τοῦ Σωτῆρος, σὲ μεγαλύνομεν πάντες οἱ δοῦλοί σου, καὶ ἐξαιτοῦμεν ἁγίας Χριστῷ πρεσβείας σου.

Μαρία Θεοτόκε, Δέσποινα τοῦ κόσμου, οἱ διὰ σοῦ σεσωσμένοι Σὲ μεγαλύνομεν, τῇ μεσιτείᾳ σου σχόντες τὸ μέγα ἔλεος.

Ὁ ἔνσαρκος καὶ θεῖος, Θεοῦ ὑψίστου Λόγος ἐκ σοῦ, Παρθένε, τεχθεὶς ἐνηνθρώπησεν, τῷ Πρωτοκλήτῳ Ἀνδρέᾳ γνωσθεὶς Σωτὴρ ἡμῶν.

*Θεοτοκίον.*

Ὑμνοῦμεν, εὐλογοῦμεν, τὸν ἄχραντόν Σου τόκον, Αὐτῷ μεσίτριαν Σὲ ἐκδεχόμενοι, μετὰ Πατρέων Ἁγίων, συνευχομένων σοι.

*Ἐξαποστειλάριον τὸ Ἀναστάσιμον (τῆς σειρᾶς)*

*Καὶ τὸ ἑπόμενον, τῶν Ἁγίων. Γυναῖκες ἀκουτίσθητε...*

Χοροὶ ἀπενεχθήσονται, τῷ Βασιλεῖ ὀπίσω σου, ἐκ τῆς σῆς ποίμνης, Ἀνδρέα, πατρὸς Πατρῶν γενομένου· τῷ Στρατοκλεῖ δ’ ἐπέθηκας τὰς χεῖρας, καὶ Σωσίπατρον ὕψωσας εἰς ἐπίσκοπον, καὶ μάρτυρας ἀθλοφόρους τῷ σῷ Δεσπότῃ προσήξας.

*Θεοτοκίον ὅμοιον.*

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχώρητου Τριάδος, δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπιφοιτῆσάν σε, Κόρη , ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς Αἴνους ψάλλομεν Ἀναστάσιμα 4· καὶ τῶν Ἁγίων τὰ ἑπόμενα. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Στίχ.: *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης, τὰ ῥήματα αὐτῶν.*

Τοῦ Παραδείσου τὰ ἄνθη τὰ εὐωδέστατα, τὴν εὐωδίαν πᾶσι τοῦ Χριστοῦ πλημμυροῦντα, αἰνέσωμεν Ἀνδρέαν καὶ τοὺς αὐτοῦ μιμητάς τε καὶ θρέμματα, Εὐαγγελίου ἐργάταις, καὶ τῶν Πατρῶν γεωργίου τὰ ὀσφράδια.

Στίχ.: *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.*

Χαίρετε ἅγιοι Μάρτυρες καὶ Ἀπόστολοι, τῆς Ἀχαΐας τέκνα, τῷ Χριστῷ συναφθέντα, ἀνδρῶν τε καὶ παιδιῶν καὶ γυναικῶν ὁ χριστώνυμος σύλλογος, Ὁσίων ὅμιλος Πάτραις καὶ τοῖς ἐγγύς, ἐν ἀσκήσει διαλάμψαντες.

Στίχ.: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Παῦλε, Λεόντιε ἅμα Ἰωακεὶμ οἱ σεπτοί, καὶ Ζαχαρία μάρτυς, καὶ Σωσίπατρε κῆρυξ, σεμνὴ Ἀναστασία, Χριστοῦ ἀμνάς, νεανία Χριστόδουλε, εἰς μαρτυρίαν ἐλθόντες τοῦ Ἰησοῦ, τῶν Πατρῶν μὴ ἐπιλάθεσθε.

Στίχ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*

Γῆ τῶν Πατρῶν ὑπεδέχθη λείψανα τίμια, Ἀνδρέου Ἀποστόλου, ἕως οὗ κομισθέντα, χερσὶ τοῦ Ἀρτεμίου ἧκον καλῶς εἰς Βυζάντιον ἄρτια, μετὰ μακρὸν δ’ ἀπεδόθη Κάρα σεπτή, ἱερόν ἡμῖν θησαύρισμα.

Δόξα: *Τὸ Ἑωθινὸν τῆς Κυριακῆς.*
Καὶ νῦν. *Ὑπερευλογημένη...*

ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ

## ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

*Τὰ ἀντίφωνα τῆς Κυριακῆς καὶ τὸ ἀναστάσιμον Ἀπολυτίκιον.*Κοντάκιον. Ἡ Παρθένος σήμερον τὸν προαιώνιον Λόγον...*Τὸ Τρισάγιον.*

Ἀπόστολος. Τοῦ Ἁγίου Ἀνδρέου.

Εὐαγγέλιον. Τῆς τρεχούσης Κυριακῆς.

Κοινωνικόν: *Αἰνεῖτε τὸν Κύριον. Εἴδομεν τὸ φῶς. Εἴη τὸ ὄνομα Κυρίου.*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Ἁγίων θεῖος χορός· Χαίροις τῶν Πατρέων ἁγιώνυμος θησαυρός· Χαίρετε Ἀνδρέου θερμοὶ συμπαραστάται, σαγήνην τὴν τοῦ Λόγου πιστῶν πληρώσαντες,

